Ακαδημία Αθηνών / Academy of Athens

*σκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον πολλῇσίν τε κ η ρ σ ὶ συμπεφυρμένην καὶ ἀμηχανίησιν.* Πρβλ. *Ἄτη.*

**κίβδηλος.** Ψεύτικος, false/base, Δημόκριτος 63 *εὐλογέειν ἐπὶ καλοῖς ἔργμασι καλόν· τὸ γὰρ ἐπὶ φλαύροισι κ ι β δ ή λ ο υ καὶ ἀπατεῶνος ἔργον* 82 *κ ί β δ η λ ο ι καὶ ἀγαθοφανέες οἱ λόγῳ μὲν ἅπαντα, ἔργῳ δὲ οὐδὲν ἔρδοντες* 93 *χαριζόμενος προσκέπτεο τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ' ἀγαθοῦ κ ί β δ η λ ο ς ἐὼν ἀποδῷ.*

**κικλήσκεσθαι.** Ὀνομάζομαι, be called/be named, Ἐμπεδοκλῆς 105.2 *αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθορόντος, τῇ τε νόημα μάλιστα κ ι κ λ ή σ κ ε τ α ι ἀνθρώποισιν· αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.*

**κίμβιξ.** Μικρολόγος/ὑπέρμετρα φειδωλός, trifling/niggardly, Ξενοφάνης 21 *κ ί μ β ι κ α αὐτὸν* (sc. τὸν Σιμωνίδην) προσαγορεύει.

**κίναδος.** Κτῆνος/θηρίο, beast, Δημόκριτος 259.1 *ὅκωσπερ περὶ κ ι ν α δ έ ω ν τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν.*

**κίνδυνος.** Κίνδυνος, danger, Δημόκριτος 172.4 *αὐτίκα ὕδωρ βαθὺ εἰς πολλὰ χρήσιμον καὶ δαὖτε κακόν· κ ί ν δ υ ν ο ς γὰρ ἀποπνιγῆναι* 226 *οἰκήιον ἐλευθερίης παρρησίη, κ ί ν δ υ ν ο ς δὲ ἡ τοῦ καιροῦ διάγνωσις* 253.5 *καὶ ⟨μὴ⟩ ἀμελέοντι ἢ ἀδικέοντι κ ί ν δ υ ν ο ς κακῶς ἀκούειν καὶ δὴ καὶ παθεῖν τι* 276 *ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κ ι ν δ ύ ν ο υ ς, πολλὰς δὲ λύπας* 277.8 *πολλοὶ ἔνεισι κ ί ν δ υ ν ο ι.*

**κινεῖν 1.** Κινῶ, move, Ἀρχύτας 1.27 *αἰ γάρ τις ῥάβδον λαβὼν κ ι ν ο ῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον· αἰ δέ κα ταχύ τε καὶ ἰσχυρῶς, ὀξὺν* **2.** Θέτω σὲ κίνηση, set in motion, Ἀναξαγόρας 13 *καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κ ι ν ε ῖ ν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐ κ ί ν η σ ε ν ὁ νοῦς, πᾶν τοῦτο διεκρίθη.* || **κινεῖσθαι** (ἀντίθ. *ἠρεμεῖν*). Κινοῦμαι, be moved, Ξενοφάνης 26.1 *αἰεὶ δ' ἐν ταὐτῷ μίμνει κ ι ν ο ύ μ ε ν ο ς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*οὐδὲν* Ἡράκλειτος 125 *ὁ κυκεὼν διίσταται ⟨μὴ⟩ κινούμενος* Ζήνων 4 *τὸ κινούμενον οὔτ' ἐν ᾧ ἔστι τόπῳ κινεῖται οὔτ' ἐν ᾧ μὴ ἔστι* Μέλισσος 7(7)-(10) *οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐδὲ κινεῖται ... εἰ τοίνυν πλέων ἐστίν, οὐ κινεῖται* 10 *εἰ γὰρ διήρηται ... τὸ ἐόν, κινεῖται· κινούμενον δὲ οὐκ ἂν εἴη* Πυθαγόρειοι 5 (DK I 452,42) *ἠρεμοῦν καὶ κινούμενον* Ἀναξαγόρας 13 *καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο ... κινουμένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι* Δημόκριτος 191.5 *αἱ δ' ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι* Ἀρχύτας 1.47-48-55 *ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἆχον, ἰσχυρῶς δέ, ὀξὺν ... ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, οἱ δὲ βαρεῖς βράδιον, φανερὸν ἁμῖν ἐκ πολλῶν γέγονεν.*

**κίνησις 1.** Κίνηση, movement, Διογένης 5.10 *πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν· ἔστι γὰρ πολύτροπος ... καὶ στασιμώτερος καὶ ὀξυτέρην κίνησιν ἔχων, καὶ ἄλλαι πολλαὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς καὶ χροιῆς ἄπειροι* Δημόκριτος 164.9 *κατὰ τὴν τοῦ κύματος κίνησιν* Ἀρχύτας 1.45 *ὥστε δῆλον ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἆχον* **2.** Ταραχή, disturbance, Δημόκριτος 191.4 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ.*

**Κινώ** (ἀντίθ. *'Αστεμφής*). Κίνηση (προσωπ.), Motion (personif.), Ἐμπεδοκλῆς 123.2 *Κινώ τ' Ἀστεμφής τε, πολυστέφανός τε Μεγιστὼ καὶ Φορύη.*

**κιξάλλης.** Κλέφτης, thief, Δημόκριτος 260 *κιξάλλην καὶ ληστὴν πάντα κτείνων τις ἀθῷος ἂν εἴη καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ.* Πρβλ. *ληστής.*

**κίων.** Κίονας/στύλος, column, Ἀναξίμανδρος 5 *λίθῳ κίονι τὴν γῆν προσφερῆ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ